ψυχρόν τ' εἶναι καὶ ξηρόν. ἄκρως μὲν γὰρ οὐδέτερόν ἐστιν, ἐπικρατεῖ δ' ἐν αὐτῷ τὸ ξηρὸν τοῦ ὑγροῦ καὶ δικαίως ἂν λεχθείη ταύτῃ μὲν ξηρόν, ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψυχρότητα διαφορᾷ μικτὸν ἐξ ἀμφοῖν καὶ ἀνώμαλον.

Ὥστ' εἴπερ τὰς τέτταρας συζυγίας τῶν κράσεων εἰς τὰς τέτταρας ὥρας διανεῖμαι σπουδάζουσιν, ἴστωσαν οὐ μόνον ἦρι κακῶς προσάψαντες ὑγρότητα καὶ θερμότητα κράσεως, ἀλλὰ καὶ φθινοπώρῳ ψυχρότητα καὶ ξηρότητα. | καίτοι γ', 529 εἰ καὶ τοῦτο συνεχωρεῖτο ξηρὸν εἶναι καὶ ψυχρόν, οὐκ ἦν ἀναγκαῖον εὐθέως ὑγρὸν εἶναι καὶ θερμὸν τὸ ἔαρ. οὐ γὰρ εἰ τέτταρες αἱ πᾶσαι συζυγίαι κράσεών εἰσιν ἀμέτρων, ἤδη καὶ πάσας ἀναγκαῖον εἰς τὰς τέτταρας ὥρας νενεμῆσθαι. ἀλλ' εἴπερ ἄρα τάξις τίς ἐστιν ἐν τῷ κόσμῳ καὶ κατὰ τὸ βέλτιον, οὐ τὸ χεῖρον ἅπαντα κεκόσμηται, πιθανώτερον ἦν, εὐκράτους μὲν τὰς πλείους ὥρας γίγνεσθαι, μίαν δ' ἐξ αὐτῶν, εἴπερ ἄρα, τὴν δύσκρατον· οἱ δὲ τοὐναντίον ἐπιδεῖξαι σπεύδουσιν, ὡς οὐδεμία τῶν ὡρῶν ἐστιν εὔκρατος, ἀλλ' ἐξ ἀνάγκης ἐν αὐταῖς ἐπικρατεῖ νῦν μὲν τὸ ψυχρόν, αὖθις δὲ τὸ θερμόν, καὶ νῦν μέν, εἰ τύχοι, τὸ ξηρόν, αὖθις δὲ τὸ ὑγρόν. ἐγὼ δὲ τοσοῦτον ἀποδέω ἢ θερμὸν καὶ ὑγρὸν ἀποφαίνειν τὸ ἔαρ, ἢ ὅ τί περ ἂν εὔκρατον ᾖ, θερμὸν καὶ ὑγρὸν εἶναι συγχωρεῖν, ὥστε πᾶν τοὐναντίον ἀποφαίνομαι χειρίστην εἶναι κατάστασιν κράσεως τοῦ περιέχοντος ἡμᾶς ἀέρος τὴν θερμὴν καὶ ὑγράν, ἣν ἐν μὲν ταῖς ὥραις οὐκ ἂν εὕροις ὅλως, ἐν δὲ ταῖς νοσώδεσι καὶ | λοιμώδεσι κατα- 530 στάσεσιν ἐνίοτε συμπίπτει, καθάπερ που καὶ Ἱπποκράτης

---

1 ἄκρως μὲν] cf. Orib. IX 4, 4 ‖ 5 Ὥστ'] cf. Orib. IX 2, 5 ‖ 6 σπουδάζουσιν LMV σπεύδουσιν O ‖ 7 προσάπτοντες Orib. ‖ κράσεως om. L ‖ 8 ξηρότητα κ. ψ. M ‖ 9 καὶ om. L ‖ ψυχρὸν εἶναι κ. ξ. L ‖ 11 κράσεών εἰσιν ἀμ. LM κρ. ἀμ. εἰσὶν V τῶν κρ. ἀμ. εἰσὶν O ‖ 12 καὶ add. LMV om. O ‖ ἀναγκαῖον om. L ‖ 13 τίς om. MV ‖ 14 οὐ τὸ LMV οὐ κατὰ τὸ O ‖ πιθανώτατον MV ‖ 15 γεγενῆσθαι O ‖ 16 οἱ δὲ LM οἱ δέ γε O ‖ ἐπιδεῖξαι LMV ἀποδ. O ‖ 18 ψυχρόν, αὖθις δ. τ. θ. LMV θ. αὖ. δ. τ. ψ. O ‖ 20 verba ἐγὼ δὲ usque ad συμπίπτει excerps. Orib. IX 2, 6 ‖ ἢ LV τοῦ O ‖ θερμὸν κ. ὑ. LMV ὑ. κ. θ. O ‖ 23 ἡμᾶς LMV om. O ‖ 25 καὶ LMV τε καὶ O | 26 συμπίπτουσαν LM συμπίπτειν O ‖ Hipp. Epid. II 1, 1 (t. V 72 L.)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413088340/29 UNIVERSITÄT LEIPZIG